eul_wid: nck-ac

*Στράβων ὁ Ἀμασεύς* · Strabo of Amasia

# Fragments on Parthian Customs

*Ἀποσπάσματα περὶ τῶν Παρθικῶν Ἐθῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Συναγωγή* Collection

2a,91,F 1 STRABON XI 9, 3: εἰρηκότες δὲ πολλὰ περὶ τῶν Παρθικῶν νομίμων ἐν τῆι ἕκτηι τῶν Ἱστορικῶν Ὑπομνημάτων βίβλωι, δευτέραι δὲ τῶν μετὰ Πολύβιον, παραλείψομεν ἐνταῦθα, μὴ ταὐτολογεῖν δόξωμεν, τοσοῦτον εἰπόντες μόνον, ὅτι τῶν Παρθυαίων συνέδριόν φησιν εἶναι Ποσειδώνιος (87 F 71) διττόν, τὸ μὲν συγγενῶν, τὸ δὲ σοφῶν καὶ μάγων, ἐξ ὧν ἀμφοὶν τοὺς βασιλεῖς καθίστασθαι.

2a,91,F 2 STRABON I 1, 22—23: ἁπλῶς δὲ κοινὸν εἶναι τὸ σύγγραμμα τοῦτο δεῖ καὶ πολιτικὸν καὶ δημωφελὲς ὁμοίως ὥσπερ τὴν τῆς ἱστορίας γραφήν. κἀκεῖ δὲ πολιτικὸν λέγομεν οὐχὶ τὸν παντάπασιν ἀπαίδευτον, ἀλλὰ τὸν μετασχόντα τῆς τε ἐγκυκλίου καὶ συνήθους ἀγωγῆς τοῖς ἐλευθέροις καὶ τοῖς φιλοσοφοῦσιν· οὐδὲ γὰρ ἂν οὔτε ψέγειν δύναιτο καλῶς οὔτ’ ἐπαινεῖν οὐδὲ κρίνειν ὅσα μνήμης ἄξια τῶν γεγονότων, ὅτωι μηδὲν ἐμέλησεν ἀρετῆς καὶ φρονήσεως καὶ τῶν εἰς ταῦτα λόγων ..... (23) διόπερ ἡμεῖς πεποιηκότες Ὑπομνήματα Ἱστορικὰ χρήσιμα, ὡς ὑπολαμβάνομεν, εἰς τὴν ἠθικὴν καὶ πολιτικὴν φιλοσοφίαν, ἔγνωμεν προσθεῖναι καὶ τήνδε τὴν σύνταξιν· ὁμοειδὴς γὰρ καὶ αὐτὴ καὶ πρὸς τοὺς αὐτοὺς ἄνδρας καὶ μάλιστα τοὺς ἐν ταῖς ὑπεροχαῖς. ἔτι δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐκεῖ τὰ περὶ τοὺς ἐπιφανεῖς ἄνδρας καὶ βίους τυγχάνει μνήμης, τὰ δὲ μικρὰ καὶ ἄδοξα παραλείπεται, κἀνταῦθα δεῖ τὰ μικρὰ καὶ τὰ ἀφανῆ παραπέμπειν, ἐν δὲ τοῖς ἐνδόξοις καὶ μεγάλοις καὶ ἐν οἷς τὸ πραγματικὸν καὶ εὐμνημόνευτον καὶ ἡδὺ διατρίβειν. καθάπερ γε καὶ ἐν τοῖς κολοσσικοῖς ἔργοις οὐ τὸ καθ’ ἕκαστον ἀκριβὲς ζητοῦμεν, ἀλλὰ τοῖς καθόλου προσέχομεν μᾶλλον, εἰ καλῶς τὸ ὅλον, οὕτως κἀν τούτοις δεῖ ποιεῖσθαι τὴν κρίσιν· κολοσσουργία γάρ τις καὶ αὕτη, τὰ μεγάλα φράζουσα πῶς ἔχει καὶ τὰ ὅλα, πλὴν εἴ τι κινεῖν δύναται καὶ τῶν μικρῶν τὸν φιλειδήμονα καὶ τὸν πραγματικόν.

2a,91,F 3 STRABON II 1, 9: ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ’ ὑπερβολὴν δὲ Δηίμαχος (III)· τὰ δὲ δεύτερα λέγει Μεγασθένης (III)· Ὀνησίκριτος (134 T 11) δὲ καὶ Νέαρχος (133 T 14) καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη. καὶ ἡμῖν δ’ ὑπῆρξεν ἐπὶ πλέον κατιδεῖν ταῦτα ὑπομνηματιζομένοις τὰς Ἀλεξάνδρου πράξεις. .... Πατροκλῆς (III) δὲ ἥκιστα τοιοῦτος, καὶ οἱ ἄλλοι δὲ μάρτυρες οὐκ ἀπίθανοι, οἷς κέχρηται ὁ Ἐρατοσθένης (V).

2a,91,F 4 JOSEPH. AJ XIII 284: κατὰ δὲ τοῦτον ἔτυχε τὸν καιρὸν μὴ μόνον τοὺς ἐν Ἱεροσολύμοις καὶ τῆι χώραι Ἰουδαίους εὐπραγεῖν, ἀλλὰ καὶ τοὺς ἐν Ἀλεξανδρείαι κατοικοῦντας καὶ ἐν Αἰγύπτωι καὶ Κύπρωι. (285) Κλεοπάτρα γὰρ ἡ βασίλισσα πρὸς τὸν υἱὸν στασιάζουσα Πτολεμαῖον τὸν

Λάθουρον ἐπιλεγόμενον κατέστησεν ἡγεμόνας Χελκίαν καὶ Ἀνανίαν υἱοὺς ὄντας Ὀνίου τοῦ οἰκοδομήσαντος τὸν ναὸν ἐν τῶι Ἡλιοπολίτηι νομῶι .... (286) παραδοῦσα δὲ τούτοις ἡ Κλεοπάτρα τὴν στρατιὰν οὐδὲν δίχα τῆς τούτων γνώμης ἔπραττεν, ὡς μαρτυρεῖ καὶ Στράβων ἡμῖν ὁ Καππάδοξ λέγων οὕτως· (287) « οἱ γὰρ πλείου ς , οἵ τε συγκατελθόντες καὶ οἱ ὕστερον ἐπιπεμπόμενοι παρὰ τῆς Κλεοπάτρας εἰς Κύπρο ν , μετεβάλοντο παραχρῆμα πρὸς τὸν Πτολεμαῖον · μόνοι δὲ οἱ ἐκ τῆς Ὀνίου γενόμενοι Ἰουδαῖοι συνέμενον διὰ τὸ τοὺς πολίτας αὐτῶν εὐδοκιμεῖν μάλιστα παρὰ τῆι βασιλίσσηι Χελκίαν τε καὶ Ἀνανία ν. » ταῦτα μὲν οὖν ὁ Στράβων φησίν.

2a,91,F 5 TERTULLIAN. De an. 46: Mithridaten quoque ex somnio Ponti petitum a Strabone cognosco.

2a,91,F 6 JOSEPH AJ XIV 111: οὐκ ἔστι δὲ ἀμάρτυρον τὸ μέγεθος τῶν προειρημένων χρημάτων (sc. τῶν ἐν τῶι ἱερῶι τῶι ἐν Ἱεροσολύμοις) ... ἀλλὰ πολλοί τε ἄλλοι τῶν συγγραφέων ἡμῖν μαρτυροῦσιν καὶ Στράβων ὁ Καππάδοξ λέγων οὕτως· (112) « πέμψας δὲ Μιθριδάτης εἰς Κῶ ἔλαβε τὰ χρήματ α , ἃ παρέθετο ἐκεῖ Κλεοπάτρα βασίλισσ α , καὶ τὰ τῶν Ἰουδαίων ὀκτακόσια τάλαντ α. » (113) ἡμῖν δὲ δημόσια χρήματα οὐκ ἔστιν ἢ μόνα τὰ τοῦ θεοῦ, καὶ δῆλον ὅτι ταῦτα μετήνεγκαν εἰς Κῶ τὰ χρήματα οἱ ἐν τῆι Ἀσίαι Ἰουδαῖοι διὰ τὸν ἐκ Μιθριδάτου φόβον· οὐ γὰρ εἰκὸς τοὺς ἐν τῆι Ἰουδαίαι πόλιν τε ὀχυρὰν ἔχοντας καὶ τὸν ναὸν πέμπειν χρήματα εἰς Κῶ, ἀλλ' οὐδὲ τοὺς ἐν Ἀλεξανδρείαι κατοικοῦντας Ἰουδαίους πιθανὸν τοῦτ' ἔστι ποιῆσαι μηδὲν Μιθριδάτην δεδιότας.

2a,91,F 7 —XIV 114: μαρτυρεῖ δὲ καὶ ἐν ἑτέρωι τόπωι ὁ αὐτὸς Στράβων, ὅτι καθ' ὃν καιρὸν διέβη Σύλλας εἰς τὴν Ἑλλάδα πολεμήσων Μιθριδάτηι καὶ Λεύκολλον πέμψας ἐπὶ τὴν ἐν Κυρήνηι στάσιν τοῦ ἔθνους ἡμῶν ἡ οἰκουμένη πεπλήρωτο λέγων οὕτως· (115) « τέτταρες δ ' ἦσαν ἐν τῆι πόλει τῶν Κυρηναίω ν , ἥ τε τῶν πολιτῶν καὶ ἡ τῶν γεωργῶ ν , τρίτη δ ' ἡ τῶν μετοίκω ν , τετάρτη δ ' ἡ τῶν Ἰουδαίω ν . αὕτη δ ' εἰς πᾶσαν πόλιν ἤδη καὶ παρελήλυθεν καὶ τόπον οὐκ ἔστι ῥαιδίως εὑρεῖν τῆς οἰκουμένη ς , ὃς οὐ παραδέδεκται τοῦτο τὸ φῦλον μη δ ' ἐπικρατεῖται ὑ π ' αὐτο ῦ . (116) τῆς τε Αἰγύπτου τὴν Κυρηναίαν ἅτε τῶν αὐτῶν ἡγεμόνων τυχοῦσαν τῶν τε ἄλλων συχνὰ ζηλῶσαι συνέβη καὶ δὴ τὰ συντάγματα τῶν Ἰουδαίων θρέψαι διαφερόντως καὶ συναυξῆσαι χρώμενα τοῖς πατρίοις τῶν Ἰουδαίων νόμοι ς . (117) ἐν γοῦν Αἰγύπτωι κατοικία τῶν Ἰουδαίων ἐστὶν ἀποδεδειγμένη χωρί ς , καὶ τῆς Ἀλεξανδρέων πόλεως ἀφώρισται μέγα μέρος τῶι ἔθνει τούτω ι . καθίσταται δὲ καὶ ἐθνάρχης αὐτῶ ν , ὃς διοικεῖ τε τὸ ἔθνος καὶ διαιτᾶι κρίσεις καὶ συμβολαίων ἐπιμελεῖται καὶ προσταγμάτω ν , ὡς ἂν πολιτείας ἄρχων αὐτοτελοῦ ς . (118) ἐν Αἰγύπτωι μὲν οὖν ἴσχυσε τὸ ἔθνος διὰ τὸ Αἰγυπτίους εἶναι τὸ ἐξ ἀρχῆς τοὺς Ἰουδαίους καὶ διὰ τὸ πλησίον ἔσεσθαι τὴν κατοικίαν τοὺς ἀπελθόντας ἐκεῖθε ν , εἰς δὲ τὴν Κυρηναίαν μετέβη διὰ τὸ καὶ ταύτην ὅμορον εἶναι τῆι τῶν Αἰγυπτίων ἀρχῆ ι , καθάπερ τὴν Ἰουδαία ν , μᾶλλον δὲ τῆς ἀρχῆς ἐκείνης πρότερον 〈μέροσ〉 . » Στράβων μὲν δὴ ταῦτα λέγει.

2a,91,F 8 PLUTARCH. Sulla 26: Σύλλαι δὲ διατρίβοντι περὶ τὰς Ἀθήνας ἄλγημα ναρκῶδες μετὰ βάρους εἰς τοὺς πόδας ἐνέπεσεν, ὅ φησιν ὁ Στράβων ποδάγρας ψελλισμὸν εἶναι. διαπλεύσας οὖν εἰς Αἴδηψον ἐχρῆτο τοῖς θερμοῖς ὕδασι, ῥαιθυμῶν ἅμα καὶ συνδιημερεύων τοῖς περὶ τὸν Διόνυσον τεχνίταις.

2a,91,F 9 —Lucull. 28: ταύτης τῆς μάχης Ἀντίοχος ὁ φιλόσοφος ἐν τῆι Περὶ θεῶν γραφῆι μνησθεὶς οὔ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. Στράβων δ' ἕτερος φιλόσοφος ἐν τοῖς Ἱστορικοῖς Ὑπομνήμασιν αὐτοὺς λέγει τοὺς Ῥωμαίους αἰσχύνεσθαι καὶ καταγελᾶν ἑαυτῶν ἐπ' ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων. Λιούιος δὲ (per. 98) .....

2a,91,F 10 JOSEPH. c. Ap. II 83—84: quia vero Antiochus neque iustam fecit templi depraedationem, sed egestate pecuniarum ad hoc accessit, cum non esset hostis, et super nos auxiliatores suos et amicos adgressus est nec aliquid dignum derisione illic invenit, multi et digni conscriptores

Eulogikon public reading copy · View original HTML at eulogikon.org

super hoc quoque testantur, Polybius Megalopolita Strabon Cappadox Nicolaus Damascenus (90 F 91) Timagenes (88 F 4) et Castor temporum conscriptor (250 F 13) et Apollodorus (244 F 79) .....

2a,91,F 11 —AJ XIII 319: φύσει δ' ἐπιεικεῖ κέχρητο καὶ σφόδρα ἦν αἰδοῦς ἥττων, ὡς μαρτυρεῖ τούτωι καὶ Στράβων, ἐκ τοῦ Τιμαγένους ὀνόματος (88 F 5) λέγων οὕτως· « ἐπιεικής τε ἐγένετο οὗτος ὁ ἀνὴρ καὶ πολλὰ τοῖς Ἰουδαίοις χρήσιμος · χώραν τε γὰρ αὐτοῖς προσεκτήσατο καὶ τὸ μέρος τοῦ τῶν Ἰτουραίων ἔθνους ὠικειώσατο δεσμῶι συνάψας τῆι τῶν αἰδοίων περιτομῆ ι. »

2a,91,F 12 JOSEPH. AJ XIII 345: (Timagenes 88 F 6) Πτολεμαῖος δὲ μετὰ τὴν νίκην προσκαταδραμὼν τὴν χώραν ὀψίας ἐπιγενομένης ἔν τισι κώμαις τῆς Ἰουδαίας κατέμεινεν, ἃς γυναικῶν εὑρὼν μεστὰς καὶ νηπίων ἐκέλευσεν τοὺς στρατιώτας ἀποσφάττοντας αὐτοὺς καὶ κρεουργοῦντας ἔπειτα εἰς λέβητας ζέοντας ἐνιέντας τὰ μέλη ἀπάρχεσθαι. (346) τοῦτο δὲ προσέταξεν, ἵν' οἱ διαφυγόντες ἐκ τῆς μάχης καὶ πρὸς αὑτοὺς ἐλθόντες σαρκοφάγους ὑπολάβωσιν εἶναι τοὺς πολεμίους καὶ διὰ τοῦτο ἔτι μᾶλλον αὐτοὺς καταπλαγῶσι ταῦτ' ἰδόντες. (347) λέγει δὲ καὶ Στράβων καὶ Νικόλαος (90 F 93), ὅτι τοῦτον αὐτοῖς ἐχρήσαντο τὸν τρόπον, καθὼς κἀγὼ προείρηκα.

2a,91,F 13 ——XIV 104: περὶ δὲ τῆς Πομπηίου καὶ Γαβινίου στρατείας ἐπὶ Ἰουδαίους γράφει Νικόλαος ὁ Δαμασκηνὸς (90 F 97) καὶ Στράβων ὁ Καππάδοξ οὐδὲν ἕτερος ἑτέρου καινότερον λέγων.

2a,91,F 14 ——XIV 34: μετ' οὐ πολὺ δὲ Πομπηίου εἰς Δαμασκὸν ἀφικομένου καὶ Κοίλην Συρίαν ἐπιόντος ἧκον παρ' αὐτὸν πρέσβεις ἐξ ὅλης Συρίας καὶ Αἰγύπτου καὶ ἐκ τῆς Ἰουδαίας· ἔπεμψε γὰρ αὐτῶι μέγα δῶρον Ἀριστόβουλος ἄμπελον χρυσῆν ἐκ πεντακοσίων ταλάντων. (35) μέμνηται δὲ τοῦ δώρου καὶ Στράβων ὁ Καππάδοξ λέγων οὕτως· « ἦλθεν δὲ καὶ ἐξ Αἰγύπτου πρεσβεία καὶ στέφανος ἀπὸ χρυσῶν τετρακισχιλίω ν , καὶ ἐκ τῆς Ἰουδαίας εἴτε ἄμπελος εἴτε κῆπος · τερπωλὴν ὠνόμαζον τὸ δημιούργημ α . ( 3 6 ) τοῦτο μέντοι τὸ δῶρον ἱστορήκαμεν καὶ ἡμεῖς ἀνακείμενον ἐν Ῥώμηι ἐν τῶι ἱερῶι τοῦ Διὸς τοῦ Καπετωλίου ἐπιγραφὴν ἔχον 〈Ἀριστοβούλου τοῦ〉 Ἀλεξάνδρου τοῦ τῶν Ἰουδαίων βασιλέω ς . ἐτιμήθη δὲ εἶναι πεντακοσίων ταλάντω ν. » Ἀριστόβουλον μὲν οὖν τοῦτο λέγεται πέμψαι τὸν Ἰουδαίων δυνάστην.

2a,91,F 15 ——XIV 66: καὶ γὰρ ἁλούσης τῆς πόλεως (sc. τῶν Ἱεροσολύμων) περὶ τρίτον μῆνα τῆι τῆς νηστείας ἡμέραι κατὰ ἐνάτην καὶ ἑβδομηκοστὴν καὶ ἑκατοστὴν ὀλυμπιάδα ὑπατευόντων Γαίου Ἀντωνίου καὶ Μάρκου Τυλλίου Κικέρωνος οἱ πολέμιοι μὲν εἰσπεσόντες ἔσφαττον τοὺς ἐν τῶι ἱερῶι, (67) οἱ δὲ πρὸς ταῖς θυσίαις οὐδὲν ἧττον ἱερουργοῦντες διετέλουν ..... (68) ὅτι δὲ οὐ λόγος ταῦτα μόνον ἐστὶν ἐγκώμιον ψευδοῦς εὐσεβείας ἐμφανίζων, ἀλλ' ἀλήθεια, μαρτυροῦσι πάντες οἱ τὰς κατὰ Πομπήιον πράξεις ἀναγράψαντες, ἐν οἷς καὶ Στράβων καὶ Νικόλαος (90 F 98) καὶ πρὸς αὐτοῖς Τίτος Λίβιος (per. 102) .....

2a,91,F 16 ——XIV 137: καταλύσας μέντοι Καῖσαρ μετὰ χρόνον τὸν πόλεμον καὶ εἰς Συρίαν ἀποπλεύσας ἐτίμησεν μεγάλως, Ὑρκανῶι μὲν τὴν ἀρχιερωσύνην βεβαιώσας, Ἀντιπάτρωι δὲ πολιτείαν ἐν Ῥώμηι δοὺς καὶ ἀτέλειαν πανταχοῦ. (138) λέγεται δ' ὑπὸ πολλῶν Ὑρκανὸν ταύτης κοινωνῆσαι τῆς στρατείας καὶ ἐλθεῖν εἰς Αἴγυπτον. μαρτυρεῖ δέ μου τῶι λόγωι καὶ Στράβων ὁ Καππάδοξ λέγων ἐξ Ἀσινίου ὀνόματος οὕτως· « μετὰ τὸν Μιθριδάτην εἰσβαλεῖν εἰς τὴν Αἴγυπτον καὶ Ὑρκανὸν τὸν τῶν Ἰουδαίων ἀρχιερέ α. »

2a,91,F 17 ——XIV 139: ὁ δ' αὐτὸς οὗτος Στράβων καὶ ἐν ἑτέροις πάλιν ἐξ Ὑψικράτους ὀνόματος (190 F 1) λέγει οὕτως· « τὸν δὲ Μιθριδάτην ἐξελθεῖν μόνο ν . κληθέντα δ ' εἰς Ἀσκάλωνα Ἀντίπατρον ὑ π ' αὐτοῦ τὸν τῆς Ἰουδαίας ἐπιμελητὴν τρισχιλίους αὐτῶι στρατιώτας συμπαρασκευάσαι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς ἄλλους δυνάστας προτρέψαι · κοινωνῆσαι δὲ τῆς στρατείας καὶ Ὑρκανὸν τὸν ἀρχιερέ α. » ταῦτα μὲν Στράβων φησίν.

2a,91,F 18 ——XV 8: Ἀντώνιος δὲ λαβὼν αἰχμάλωτον τὸν Ἀντίγονον δέσμιον ἔγνω μέχρι θριάμβου φυλάττειν. ἐπειδὴ δ' ἤκουσεν νεωτερίζειν τὸ ἔθνος κἀκ τοῦ πρὸς Ἡρώδην μίσους εὔνουν Ἀντιγόνωι διαμένον, ἔγνω. τοῦτον ἐν Ἀντιοχείαι πελεκίσαι· σχεδὸν γὰρ οὐδ' ἄλλως ἠρεμεῖν ἠδύναντο οἱ Ἰουδαῖοι. (9) μαρτυρεῖ δέ μου τῶι λόγωι Στράβων ὁ Καππάδοξ λέγων οὕτως· « Ἀντώνιος δὲ Ἀντίγονον τὸν Ἰουδαῖον ἀχθέντα εἰς Ἀντιόχειαν πελεκίζε ι . καὶ ἔδοξε μὲν οὗτος πρῶτος Ῥωμαίων βασιλέα πελεκίσα ι , οὐκ οἰηθεὶς ἕτερον τρόπον μεταθεῖναι ἂν τὰς γνώμας τῶν Ἰουδαίω ν , ὥστε δέξασθαι τὸν ἀν τ ' ἐκείνου καθεσταμένον Ἡρώδη ν . οὐδὲ γὰρ βασανιζόμενοι βασιλέα ἀναγορεύειν αὐτὸν ὑπέμειναν · οὕτως μέγα τι ἐφρόνουν περὶ τοῦ πρώτου βασιλέω ς . ( 1 0 ) τὴν οὖν ἀτιμίαν ἐνόμισε μειώσειν ** τῆς πρὸς αὐτὸν μνήμη ς , μειώσειν δὲ καὶ τὸ πρὸς Ἡρώδην μῖσο ς. » ταῦτα μὲν ὁ Στράβων.

2a,91,F 19 PLUT. Caes. 63: ἀλλ' ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον ὡς ἀφύλακτον εἶναι τὸ πεπρωμένον, ἐπεὶ καὶ σημεῖα θαυμαστὰ καὶ φάσματα φανῆναι λέγουσι. σέλα μὲν οὖν οὐράνια καὶ κτύπους νύκτωρ πολλαχοῦ διαφερομένους καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμους ὄρνιθας οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτωι μνημονεῦσαι· Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου δὲ ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν, ὡς δὲ ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον. αὐτῶι δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου, καὶ δεινὸν εἶναι τὸ τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῶιον ἀκάρδιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org